# LIBER OCTAVVS.

## CAPVT I.

### ΠΥΘΑΓΟΡΑΣ.

I. 1) Ἐπεὶ δὲ τὴν Ἰωνικὴν φιλοσοφίαν τὴν ἀπὸ Θαλȣ̃, καὶ τȣ̀ς ἐν ταύτῃ διαγενομένȣς ἄνδρας ἀξιολόγȣς διεληλύθαμεν, φέρε καὶ περὶ τῆς Ἰταλικῆς διαλάβωμεν, ἧς ἦρξε Πυθαγόρας Μνησάρχȣ δακτυλιογλύφȣ, ὥς φησιν Ἕρμιππος· ἤ, ὡς Ἀριςόξενος, Τυῤῥηνὸς, ἀπὸ μιᾶς τῶν νήσων ἃς κατέχον Ἀθηναῖοι Τυῤῥηνȣ̀ς ἐκβαλόντες. ἔνιοι δὲ, υἱὸν μὲν εἶναι Μαρμάκȣ τȣ̃ Ἱππάσȣ, τȣ̃ Εὐθύφρονος, τȣ̃ Κλεωνύμȣ, φυγάδος ἐκ Φλιȣ̃ντος· οἰκεῖν δὲ ἐν Σάμῳ τὸν Μάρμακον, ὅθεν Σάμιον τὸν Πυθαγόραν λέγεσθαι. 2) συςῆναι δὲ εἰς Λέσβον ἐλθόντα Φερεκύδῃ, ὑπὸ Ζωΐλȣ τȣ̃ θείȣ. καὶ τρία ποτήρια κατασκευασάμενος ἀργυρᾶ, δῶρον ἀπήνεγκεν ἑκάςῳ τῶν ἱερέων εἰς Αἴγυπτον. ἔσχε δὲ ἀδελφȣ̀ς, πρεσβύτερον μὲν, Εὔνομον· μέσον δὲ Τυῤῥηνόν· καὶ δȣ̃λον Ζά-

### PYTHAGORAS.

I. 1) Hactenus de Ionica philoſophia, quae a Thalete Mileſio initium accepit, ac de viris, qui in ea memorabiles fuere. Age vero iam et de ea, quae Italica cognominata eſt, loqui pergamus. Eius vero princeps fuit Pythagoras, Mneſarchi, annulorum ſculptoris, filius, vt Hermippus ait; ſiue, vt Ariſtoxenus tradit, Tyrrhenus, ex vna inſularum, quas eiectis Tyrrhenis Athenienſes poſſederunt. Sunt, qui Marmacum illius patrem, auum Hippaſum et Euthyphronem atauum, Cleoniumque abauum, qui Phliunte profugerit, dicant. Habitaſſe Marmacum in Samo, atque ideo Pythagoram Samium dici. 2) inde migraſſe Lesbum, ibique a Zoilo patruo Pherecydi Syro commendatum, tres ſubinde argenteos calices fuiſſe fabricatum, eoſque ſingulis in Aegypto ſacerdotibus dono dediſſe. Habuit et fratres, maiorem quidem natu Eunomum, me-



Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/ppn325290474/539 gefördert von der Deutschen Forschungsgemeinschaft